TEZAUR LITURGIC

10 IANUARIE

# SLUJBA SF.PREOT MARCHIAN DE LA CONSTANTINOPOL

ATENA,2020


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 10 ΙΑΝΟΥΑΡΙΟΣ ΑΚΟΛΟΥΘΙΑ

## ΕΣΠΕΡΙΝΟΣ

Εἰς τό· *Κύριε ἐκέκραξα,* ἱστῶμεν στίχους στ΄, καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια, γ΄ τῆς Ἑορτῆς καὶ γ΄ τοῦ Ἁγίου. Ἦχος α΄. Πανεύφημοι Μάρτυρες

Πάτερ ἱερώτατε τοῦ σοῦ, βίου ταῖς λαμπρότησιν, ἡ οἰκουμένη πεφώτισται, καὶ ἀπημαύρωται, τῶν δαιμόνων πλάνη, νόσοι ἀπελαύνονται, ἐκ μόνης τῆς σοροῦ σου προσψαύσεως, θεία γὰρ χάρις σοι, τοῖς λειψάνοις ἐπιλάμπουσα, παθημάτων λύει τὴν σκοτόμαιναν.

Πάτερ ἀξιάγαστε ναόν, σεαυτὸν ἐτέλεσας, τῆς ἀϊδίου θεότητος, ναοὺς δὲ ἤγειρας, ἱεροὺς πρὸς θείαν, τῆς Τριάδος αἴνεσιν, νεκροὺς δὲ ἐξανέστησας ῥήματι, καὶ εὐσυμπάθητον, κεκτημένος γνώμην ἔνειμας, πενομένοις πλοῦτον προθυμότατα.

Γύμνωσιν αἰτήσαντος σαφῶς, Πάτερ περιέστειλας, γυμνὸς αὐτὸς ἀφικόμενος, ναὸν εἰς ἅγιον, θεϊκῇ στολῇ δέ, σὲ Χριστὸς ἠμφίασε, τὰ θεῖα ἐκτελοῦντα μυστήρια, ἧς κατεπλάγησαν, καλλονὴν οἱ θεωρήσαντες, καὶ Θεοῦ σε ἔγνωσαν θεράποντα.

*Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς.*

Φρίττω Σου τὴν ἔλευσιν Χριστέ, ὅμως τῇ προστάξει Σου, οὐκ ἀντιπίπτω ὁ δοῦλός Σου, ἰδοὺ τὴν χεῖρά μου, ἐπεκτείνω φόβῳ, βλέπω γὰρ τὸ ἅγιον, ὑψόθεν κατιδὼν

Πνεῦμα Δέσποτα, σοῦ τὸ ὁμότιμον, καὶ Πατρὸς ἀνάρχου σύνθρονον, μαρτυροῦν Σε σαρκὶ βαπτιζόμενον.

**ΟΡΘΡΟΣ**

Ὁ Κανὼν τοῦ Ἁγίου

*ᾨδὴ α΄. Ἦχος α΄. ᾨδὴν ἐπινίκιον.*

Τῷ ῥείθροις ἐνθάψαντι τὴν ἁμαρτίαν, Χριστῷ προσκολλώμενος, ἀνενδότοις νεύσεσιν ἐναπεξήρανας, τὰς ἀναβλύσεις τῶν παθῶν, θεόφρον Μαρκιανέ.

Χριστὸς βαπτιζόμενος ἀνακαθαίρει, φθαρεῖσαν τοῖς πάθεσι, τὴν ἡμῶν ἀσθένειαν, Ὧ εὐηρέστησας Μαρκιανὲ δι’ ἐμμελοῦς, Πάτερ ἀσκήσεως.

*Θεοτοκίον.*

Παρθένος διέμεινας, μετὰ τὸν τόκον, Θεὸν γὰρ ἐκύησας, Ὃν ὁ μέγας Πρόδρομος, ἐν Ἰορδάνου ῥοαῖς, ἐβάπτισε τρόμῳ πολλῷ, ἄχραντε Δέσποινα.

*ᾨδὴ γ΄. Στερεωθήτω ἡ καρδία μου.*

Τὰ Ἰορδάνου ῥεῖθρα Κύριε, κατελθὼν ἡγίασας σήμερον, καὶ ὥσπερ δῶρον καὶ σεπτὸν καὶ τερπνὸν καλλιέρημα, προσελάβου τὸν κλεινὸν Μαρκιανόν, τοῦ δοξάζειν σε.

Ὁ περιβάλλων νέφει Κύριος, οὐρανὸν στολὴν ἐπενδύει σε, ἱερουργοῦντα ἱερὰν καὶ Ἀγγέλοις αἰδέσιμον, τὸν ὡς ἄγγελον ἐν γῇ, μετὰ σαρκὸς βιωτεύσαντα.

Ἀναστασίας τῆς θεόφρονος, ἱερὸν ναὸν ᾠκοδόμησας, κατακοσμήσας ἱερῶς, καὶ σεπτοῖς ἀναθήμασι, διὰ τοῦτο σὺν αὐτῇ Μαρκιανὲ κατεσκήνωσας.

*Θεοτοκίον.*

Τὴν ἁμαρτίαν τοῦ προπάτορος, ὁ ἐκ Σοῦ τεχθεὶς ἀειπάρθενε, ἐν Ἰορδάνῃ ποταμῷ, κατακλύζει ὡς εὔσπλαγχνος, Ὃν ὁ Πρόδρομος βαπτίσας, προτραπεὶς συνεστέλλετο.

*Κάθισμα. Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.*

Τὰς γραφὰς νηπιόθεν τὰς ἱεράς, ἐρευνῶν θεοφόρε Μαρκιανέ, ἐνθέως διέλαμψας, εὐσεβείας τοῖς δόγμασι, τὸν γὰρ Υἱὸν καὶ Λόγον, Πατρὶ ὁμοούσιον, καὶ τῷ θείῳ Πνεύματι, ἐκήρυξας σύνθρονον, ὅθεν τὴν Ἀρείου, καὶ τὴν Μακεδονίου, ἀσέβειαν ἤλεγξας, καὶ τὴν πίστιν ἐτράνωσας, ὀρθοδόξως δοξάζεσθαι, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

*ᾨδὴ δ΄. Ἐν πνεύματι προβλέπων.*

Σκιρτήσατε τὰ ὄρη, χορεύσατε κρουνοί, Ἰησοῦς βαπτίζεται ὁ μόνος καθαρός, ὁ τοῦ Ὁσίου τὴν μνήμην καταφαιδρύνας, δι’ οὗ δαιμόνων πᾶσα πλάνη ἠμαυρώθη, καὶ ἡ οἰκουμένη πεφώτισται.

Νεκρώσας ἐγκρατείᾳ σαρκὸς τὰς ἡδονάς, θείῳ προσρήματι ἐζώωσας νεκρούς, ἐν τῷ κηδεύειν

κατασπαζόμενος Πάτερ, καὶ αὖθις θνήσκειν ἐγκελεύων ὥς ἥξει, πάντων ἡ κοινὴ ἐξανάστασις.

Ὁ βίος σου τῷ κάλλει τῶν θείων ἀρετῶν, καταγλαϊζόμενος φαιδρύνει τοὺς πιστούς, ἡ τῶν λειψάνων δὲ σωρὸς ἐναπαστράπτει, βολὰς θαυμάτων τῶν ἐν πίστει προσιοῦσι, Πάτερ καὶ πιστῶς εὐφημοῦσί σε.

*Θεοτοκίον.*

Πηγὴν σὺ σωτηρίας ἐκύησας Χριστόν, καθαγιάζοντα πηγὰς τῷ βαπτισμῷ, Ὃν Ἰορδάνης ἰδὼν ἐστράφη τῷ φόβῳ, καὶ Ἰωάννης ὁ βαπτίζων κατεπλάγη, ἄχραντε Παρθένε πανύμνητε.

*ᾨδὴ ε΄. Τὴν σὴν εἰρήνην.*

Δρακόντων συνέτριψας τὰς κάρας βαπτισμῷ, Κύριε Θεὲ παντοδύναμε, ὁ ἐξουσίαν δοὺς καὶ δύναμιν, Μαρκιανῷ τῷ θείῳ κατὰ δαιμόνων πλάνης.

Ἐσκόρπισας διένειμας τοῖς πένησι τὴν σήν, ὕπαρξιν θεόφρον πανόλβιε, διό σου μένει τὸ μνημόσυνον, εἰς τὸν αἰῶνα μάκαρ καὶ ἡ δικαιοσύνη.

Εἰρήνευσας συγχύσεως παθῶν τὸν λογισμόν, Ὅσιε ναὸν ἐδομήσω δέ, θείας εἰρήνης τὸν ἐπώνυμον, εἰς αἴνεσιν Κυρίου, τῆς τοῦ παντὸς εἰρήνης.

*Θεοτοκίον.*

Παρθένος μετὰ γέννησιν, ἐδείχθης ἀληθῶς, ἄχραντε Θεὸν γὰρ ἐγέννησας, Ὃν Ἰωάννης ἐν τοῖς ὕδασι, τοῦ Ἰορδάνου λούει, εἰς καινισμὸν τοῦ κόσμου.

*Ὠδὴ ζ΄. Τοὺς ἐν καμίνῳ παῖδάς Σου Σωτήρ.*

Ἡ τῆς ζωῆς ἐφέστηκε πηγή, τοῖς ὕδασι πλύνουσα τὰ πταίσματα ἡμῶν, ὁ τοῦ Θεοῦ μονογενὴς ἄναρχος Λόγος, Ὅνπερ εὐηρέστησε, Μαρκιανὸς ὁ κλεινός, μετατεθεὶς πρὸς Αὐτόν.

Εὐτόνοις ἀγρυπνίαις ἀληθῶς, ἐκοίμησας πάθη τὰ δυσκάθεκτα ψυχῆς, καὶ κοιμηθεὶς ἐν βαθυτάτῳ γήρᾳ μάκαρ, πρὸς φῶς ἐξεδήμησας, ὡς τῆς ἡμέρας υἱός, καὶ τοῦ Χριστοῦ λειτουργός.

Ῥομφαία ἡ τὸ ξύλον τῆς ζωῆς φυλάττουσα, νῶτά σοι δεδώρηται σοφέ, ὅθεν χαρᾶς τοῦ Παραδείσου ἀπολαύεις, ἀνυμνῶν τὸν αἴτιον, τῆς σωτηρίας ἡμῶν, Μαρκιανὲ ἱερέ.

*Θεοτοκίον.*

Μὴ φλέξας Σου τὴν μήτραν ὁ Χριστός, γεγέννηται, ἄχραντε ἐκ Σοῦ θεοπρεπῶς, Ὃν κατιδὼν ὁ Ἰωάννης ἀνεβόα· Ἰησοῦς βαπτίζεται, ἡ σωτηρία πιστῶν καὶ ἀπολύτρωσις.

*Ὠδὴ η΄. Ὃν φρίττουσιν Ἄγγελοι.*

Βροτοὺς ἀνεγέννησας, βαπτίσματι τῷ Σῷ, Θεὲ πολυέλεε, ὁ σήμερον ἐκ γῆς πρὸς ἄῤῥητον δόξαν προσλαβόμενος, τὸν θεράποντά Σου Μαρκιανὸν τὸν θεῖον.

Βασίλειον βλέπων σε λαὸς ὁ ἱερός, στολὴν περικείμενον ἐν τῷ ἱερουργεῖν, ἐθαύμασε καθάπερ καὶ συμφώνως Χριστῷ, τῷ παμβασιλεῖ τε, ἀνύμνησε παμμάκαρ.

Ἐγκράτειαν ἤσκησας ἀέναον εὐχήν, ὑψοῦσαν ταπείνωσιν, ἀγάπην ἀληθῆ, ἀπάθειαν Πάτερ, διὰ τοῦτο Χριστὸς χάριν σοι παρέσχε θαυμάτων εἰς αἰῶνας.

*Θεοτοκίον.*

Χωρεῖς τὸν ἀχώρητον Παρθένε ὑπὲρ νοῦν, Ὃν μέλλων ὁ Πρόδρομος βαπτίσαι δειλιῶν, καὶ τρέμων ἐβόα, πῦρ ὑπάρχων Κύριε, μὴ μὲ καταφλέξῃς τὸν πόθῳ Σε ὑμνοῦντα.

*ᾨδὴ θ΄. Τὴν Ζωοδόχον Πηγήν.*

Πανηγυρίσατε σήμερον ἄνθρωποι, οἱ ποταμοὶ τὰ ὄρη σκιρτήσατε, Ἰησοῦς βαπτίζεται, ὁ Σωτὴρ ἐπέφανε καὶ συνδοξάζει τῇ Αὐτοῦ ἐπιφανείᾳ, Μαρκιανοῦ τὴν ἁγίαν μετάστασιν.

Τῶν ἐφετῶν τὸ ἀκρότατον ἔφθασας, ἀπολυθεὶς τῶν δεσμῶν τοῦ σώματος, θεοφόρε Ὅσιε, καθορῶν λαμπρότητας, Ἱεραρχῶν Προφητῶν καὶ Ἀποστόλων, μεθ’ ὧν ἡμῶν τῶν τιμώντων σε μέμνησο.

*Θεοτοκίον.*

Φέρεις Θεὸν ἐν ἀγκάλαις τὸν τρέφοντα, θεουργικῇ δυναστείᾳ τὰ σύμπαντα, Ὃν ἰδὼν ὁ Πρόδρομος, βάπτισμα αἰτούμενον, ἀμηχανεῖ δειλιῶν Θεογεννῆτορ, καὶ ἐκπληροῖ τὸ φρικτῶς κελευόμενον.